# ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ

Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαυὶδ υἱοῦ Ἀβραάμ.

Ἀβραὰμ ἐγέννησεν τὸν Ἰσαάκ, Ἰσαὰκ δ´ ἐγέννησεν τὸν Ἰακώβ, Ἰακὼβ δ´ ἐγέννησεν τὸν Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, Ἰούδας δ´ ἐγέννησεν τὸν Φάρες καὶ τὸν Ζάρα ἐκ τῆς Θαμάρ, Φάρες δ´ ἐγέννησεν τὸν Ἑσρώμ, Ἑσρὼμ δ´ ἐγέννησεν τὸν Ἀράμ, Ἀρὰμ δ´ ἐγέννησεν τὸν Ἀμιναδάβ, Ἀμιναδὰβ δ´ ἐγέννησεν τὸν Ναασσών, Ναασσὼν δ´ ἐγέννησεν τὸν Σαλμών, Σαλμὼν δ´ ἐγέννησεν τὸν Βόες ἐκ τῆς Ῥαχάβ, Βόες δ´ ἐγέννησεν τὸν Ἰωβὴδ ἐκ τῆς Ῥούθ, Ἰωβὴδ δ´ ἐγέννησεν τὸν Ἰεσσαί, Ἰεσσαὶ δ´ ἐγέννησεν τὸν Δαυὶδ τὸν βασιλέα.

Δαυὶδ δ´ ἐγέννησεν τὸν Σολομῶνα ἐκ τῆς τοῦ Οὐρίου, Σολομὼν δ´ ἐγέννησεν τὸν Ῥοβοάμ, Ῥοβοὰμ δ´ ἐγέννησεν τὸν Ἀβιά, Ἀβιὰ δ´ ἐγέννησεν τὸν Ἀσάφ, Ἀσὰφ δ´ ἐγέννησεν τὸν Ἰωσαφάτ, Ἰωσαφὰτ δ´ ἐγέννησεν τὸν Ἰωράμ, Ἰωρὰμ δ´ ἐγέννησεν τὸν Ὀζίαν, Ὀζίας δ´ ἐγέννησεν τὸν Ἰωαθάμ, Ἰωαθὰμ δ´ ἐγέννησεν τὸν Ἀχάζ, Ἀχὰζ δ´ ἐγέννησεν τὸν Ἑζεκίαν, Ἑζεκίας δ´ ἐγέννησεν τὸν Μανασσῆ, Μανασσῆς δ´ ἐγέννησεν τὸν Ἀμώς, Ἀμὼς δ´ ἐγέννησεν τὸν Ἰωσίαν, Ἰωσίας δ´ ἐγέννησεν τὸν Ἰεχονίαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ ἐπὶ τῆς μετοικεσίας Βαβυλῶνος.

Μετὰ δ´ τὴν μετοικεσίαν Βαβυλῶνος Ἰεχονίας ἐγέννησεν τὸν Σαλαθιήλ, Σαλαθιὴλ δ´ ἐγέννησεν τὸν Ζοροβαβέλ, Ζοροβαβέλ δ´ ἐγέννησεν τὸν Ἀβιούδ, Ἀβιοὺδ δ´ ἐγέννησεν τὸν Ἐλιακίμ, Ἐλιακὶμ δ´ ἐγέννησεν τὸν Ἀζώρ,

Ἀζὼρ δ´ ἐγέννησεν τὸν Σαδώκ, Σαδὼκ δ´ ἐγέννησεν τὸν Ἀχίμ, Ἀχὶμ δ´ ἐγέννησεν τὸν Ἐλιούδ, Ἐλιοὺδ δ´ ἐγέννησεν τὸν Ἐλεάζαρ, Ἐλεάζαρ δ´ ἐγέννησεν τὸν Ματθάν, Ματθὰν δ´ ἐγέννησεν τὸν Ἰακώβ, Ἰακὼβ δ´ ἐγέννησεν τὸν Ἰωσὴφ τὸν ἄνδρα Μαρίας, ἐξ ἧς ἐγεννήθη Ἰησοῦς ὁ λεγόμενος Χριστός.